Tips für eine Hetäre

In der Kunst, wie man andere Menschen an sich fesselt, kann die Hetäre Theodote von Sokrates noch etwas lernen.

(Σωκράτης·) - Καὶ γὰρ δὴ βίᾳ μὲν οὔτ᾽ ἂν ἕλοις οὔτε κατάσχοις φίλον, εὐεργεσίᾳ δὲ καὶ ἡδονῇ τὸ θηρίον τοῦτο ἁλώσιμόν τε καὶ παραμόνιμόν ἐστιν.

- Ἀληθῆ λέγεις, ἔφη.

- Δεῖ τοίνυν, ἔφη, πρῶτον μὲν τοὺς φροντίζοντάς σου τοιαῦτα ἀξιοῦν, οἷα ποιοῦσιν αὐτοῖς μικρότατα μελήσει, ἔπειτα δὲ αὐτὴν[1] ἀμείβεσθαι χαριζομένην τὸν αὐτὸν τρόπον· οὕτω γὰρ ἂν μάλιστα φίλοι γίγνοιντο καὶ πλεῖστον χρόνον φιλοῖεν καὶ μέγιστα εὐεργετοῖεν. Χαρίζοιο δ᾽ ἂν μάλιστα, εἰ δεομένοις δωροῖο τὰ παρὰ σεαυτῆς[2]· ὁρᾷς γάρ, ὅτι καὶ τῶν βρωμάτων τὰ ἥδιστα, ἐὰν μέν τις προσφέρῃ, πρὶν ἐπιθυμεῖν, ἀηδῆ φαίνεται, κεκορεσμένοις[3] δὲ καὶ βδελυγμίαν παρέχει, ἐὰν δέ τις προσφέρῃ λιμὸν ἐμποιήσας, κἂν φαυλότερα ᾖ, πάνυ ἡδέα φαίνεται.

- Πῶς οὖν ἄν, ἔφη, ἐγὼ λιμὸν ἐμποιεῖν τῶν παρ᾽ ἐμοὶ δυναίμην;

- Εἰ νὴ Δί᾽, ἔφη, πρῶτον μὲν τοῖς κεκορεσμένοις μήτε προσφέροις μήτε ὑπομιμνῄσκοις, ἕως ἂν τῆς πλησμονῆς παυσάμενοι πάλιν δέωνται. Ἔπειτα τοὺς δεομένους ὑπομιμνῄσκοις ὡς κοσμιωτάτῃ[4] τε ὁμιλίᾳ καὶ τῷ μὴ φαίνεσθαι βουλομένη χαρίζεσθαι καὶ διαφεύγουσα, ἕως ἂν ὡς μάλιστα δεηθῶσι· τηνικαῦτα γὰρ πολὺ διαφέρει[5] τὰ αὐτὰ δῶρα ἢ πρὶν ἐπιθυμῆσαι διδόναι[6].

Καὶ ἡ Θεοδότη, τί οὖν οὐ σύ μοι, ἔφη, ὦ Σώκρατες, ἐγένου[7] συνθηρατὴς τῶν φίλων;

Ἐάν γε νὴ Δί᾽, ἔφη, πείθῃς με σύ.

---

[1] αὐτήν *(bezieht sich auf Theodote)* — du selbst
[2] τὰ παρὰ σεαυτῆς — was du zu bieten hast
[3] κορέννυμι — sättigen
[4] κόσμιος — anständig, sittsam
[5] διαφέρω... ἤ... — *hier*: anders sein... als...
[6] διδόναι — *Es muss ein Subjekt hinzugedacht werden.*
[7] ἐγένου — *Indikativ Aorist hier ohne temporale Bedeutung.*